δ'. Τί οὖν; ἢν σοι (ἔφη) καὶ οἰκέτας αὖ ἐπιδεικνύω, ἔνθα μὲν πάντας, ὡς εἰπεῖν, δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ λελυμένους, καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν· οὐ καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύναι; ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ σφόδρα γε.

ε'. Ἢν δὲ καὶ παραπλησίως γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολωλέναι φάσκοντας ὑπὸ γεωργίας, καὶ ἀποροῦντας, τοὺς δὲ, ἀφθόνως καὶ καλῶς πάντα ἔχοντας, ὅσων δέονται, ἀπὸ τῆς γεωργίας; ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος. ἴσως γὰρ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτῷ καὶ τῷ οἴκῳ.

ϛ'. Εἰσὶ μὲν τινες ἴσως, ἔφη ὁ Σωκράτης, καὶ τοιοῦτοι. ἀλλ' ἐγὼ οὐ τούτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες. καὶ τί ἂν εἴη τούτου αἴτιον, ἔφη, ὦ Σώκρατες; ἐγώ σε ἄξω καὶ ἐπὶ τούτους, ἔφη ὁ Σωκράτης· σὺ δὲ θεώμενος δήπου καταμαθήσῃ. νὴ Δί', ἔφη, ἢν δύνωμαί γε.

ζ'. Οὐκοῦν χρὴ θεώμενον σαυτοῦ ἀποπειρᾶσθαι, εἰ γνώσῃ. νῦν δ' ἐγώ σοι σύνοιδα ἐπὶ μὲν κωμῳδῶν θέαν καὶ πάνυ πρωῒ ἀνιστάμενον, καὶ πάνυ μακρὰν ὁδὸν βαδίζοντα, καὶ

ἐμὲ